# ΕΡΓΙΣΚΗ

Σέρριον τεῖχος

Αἰσχίνου
Κατὰ Κτησιφῶντος Λ'.

Οὗτός ἐστιν, ὦ Ἀθηναῖοι, ὁ πρῶτος ἐξευρὼν Σέρριον τεῖχος καὶ Δερίσκον καὶ Ἐργίσκην καὶ Μουρχίσκην καὶ Γάνος καὶ Γανίδα, χωρία ὧν οὐδὲ τὰ ὀνόματα ᾔδειμεν πρότερον.

Δημοσθένης καὶ Αἰσχίνης: Quae Exstant Omnia. G. S. Dobson: illustravit. London 1828 τ. 8 σ. 205

Σέρριον τεῖχος. Vide Δημοσθένη Περὶ τῶν ἐν Χερρονήσῳ et κατὰ Φιλίππου Γ. Brodaeus.
Ἁρποκρατίων citat hunc locum in v. Γάνος, et Ἐργίσκη.
Vide Meurs. VI. Att. Lect. 26. Taylor.

Ἡγησίππου (Δημοσθένους)
Περὶ Ἁλοννήσου Λόγος Θ'. τ. 1ος σ. 174

Περὶ δὲ ὧν ἐν τῇ εἰρήνῃ εἴληφε χωρίων, ὑμῶν ἐχόντων, παρασπονδῶν καὶ λύων τὴν εἰρήνην, ἐπειδὴ οὐκ ἔχει ὅ τι εἴπῃ, ἀλλ' ἀδικῶν φανερῶς ἐξελέγχεται, ἐπιτρέπειν φησὶ περὶ τούτων ἕτοιμος εἶναι ἴσῳ καὶ κοινῷ δικαστηρίῳ, περὶ ὧν κοινὸν οὐδὲν δεῖ ἐπιτροπῆς, ἀλλ' ἀριθμὸς ἡμερῶν ἐστιν ὁ κρίνων. Ἅπαντες γὰρ ἴσμεν τίνι μηνὶ καὶ ποίᾳ ἡμέρᾳ ἡ εἰρήνη ἐγένετο. Ὥσπερ δὲ ταῦτα ἴσμεν κἀκεῖνα ἴσμεν, τίνι μηνὶ καὶ τίνι ἡμέρᾳ Σέρριον τεῖχος καὶ Ἐργίσκη καὶ Ἱερὸν ὄρος ἑάλω. Οὐ δὴ ἀφανῆ ἐστι ταῦτα οὕτω πραχθέντα, οὐδὲ κρίσεως δεόμενα, ἀλλὰ πᾶσι γνώριμα, πότερος πρότερος μήν ἐστιν, ἐν ᾧ ἡ εἰρήνη ἐγένετο, ἢ ἐν ᾧ τὰ χωρία ἑάλω

(ἀκολουθεῖ)

Δημοσθένους Περὶ Στεφάνου Λόγος θ'. Ι.

θ'. Ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, ἐνταῦθα πάλιν σκέψασθε, τί ἡμῶν ἑκάτερος προείλετο πράττειν· καὶ γὰρ ἐκ τούτων εἴσεσθε, τίς ἦν ὁ Φιλίππῳ πάντα συναγωνιζόμενος, καὶ τίς ὁ πράττων ὑπὲρ ὑμῶν καὶ τὸ τῇ πόλει συμφέρον ζητῶν. Ἐγὼ μὲν τοίνυν ἔγραψα ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις ἐπὶ τοὺς τόπους, ἐν οἷς ἂν ὄντα τὸν Φίλιππον πυνθάνωνται, καὶ τοὺς ὅρκους ἀπολαμβάνειν· οὗτοι δ' οὐδὲ γράψαντος ἐμοῦ ταῦτα ποιεῖν ἠθέλησαν.

Τί δὲ τοῦτ' ἠδύνατο, ὦ ἄνδρες Ἀθηναῖοι; Ἐγὼ διδάξω.

Φιλίππῳ μὲν ἦν συμφέρον ὡς πλεῖστον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων, ὑμῖν δ' ὡς ἐλάχιστον. Διὰ τί; Ὅτι ὑμεῖς μὲν οὐκ ἀφ' ἧς ~~ἡμέρας~~ ὠμόσατε μόνον ἡμέρας, ἀλλ' ἀφ' ἧς ἠλπίσατε τὴν εἰρήνην ἔσεσθαι, πάσας ἐξελύσασθε τὰς παρασκευὰς τὰς τοῦ πολέμου.

Ὁ δὲ τοῦτ' ἐκ παντὸς τοῦ χρόνου μάλιστα ἐπραγματεύετο, νομίζων, ὅπερ ἦν ἀληθές, ὅσα τῆς πόλεως προλάβοι πρὸ τοῦ τοὺς ὅρκους ἀποδοῦναι, πάντα ταῦτα βεβαίως ἕξειν· οὐδένα γὰρ τὴν εἰρήνην λύσειν τούτων ἕνεκα. Ἃ ἐγὼ προορώμενος ὦ ἄνδρες Ἀθηναῖοι καὶ λογιζόμενος τὸ ψήφισμα τοῦτο γράφω, πλεῖν ἐπὶ τοὺς τόπους ἐν οἷς ἂν ᾖ Φίλιππος, καὶ τοὺς ὅρκους τὴν ταχίστην ἀπολαμβάνειν.

Ἵν' ἐχόντων τῶν Θρᾳκῶν τῶν ὑμετέρων συμμάχων τὰ χωρία ταῦθ', ἃ νῦν οὗτος διέσυρε, τὸ Σέρριον καὶ τὸ Μύρτιον καὶ τὴν Ἐργίσκην, οὕτω γίγνοινθ' οἱ ὅρκοι, καὶ μὴ προλαβὼν ἐκεῖνος τοὺς ἐπικαίρους τῶν τόπων κύριος τῆς Θρᾴκης κατασταίη, μηδὲ πολλῶν μὲν χρημάτων, πολλῶν δὲ στρατιωτῶν εὐπορήσας ἐκ τούτων ῥᾳδίως τοῖς λοιποῖς ἐπιχειροίη πράγμασιν.

Εἶτα τουτὶ μὲν οὐχὶ λέγει τὸ ψήφισμα, οὐδ' ἀναγιγνώσκει;

Λέγε τοίνυν μοι τὸ ψήφισμα τουτὶ λαβών, ὃ σαφῶς οὗτος εἰδὼς παρέβη. Λέγε. Ψήφισμα.

Ι'. Ταῦτα γράψαντος ἐμοῦ τότε, ζ τὸ τῇ πόλει συμφέρον, οὐ τὸ Φιλίππῳ ζητοῦντος βραχὺ φροντίσαντες οἱ χρηστοὶ πρέσβεις οὗτοι καθῆντο ἐν Μακεδονίᾳ τρεῖς ὅλους μῆνας, ἕως ἦλθε Φίλιππος ἐκ Θρᾴκης πάντα καταστρεψάμενος ταχεῖ, ἐξὸν ἡμερῶν δέκα, μᾶλλον δὲ τριῶν ἢ τεττάρων εἰς τὸν Ἑλλήσποντον ἀφῖχθαι καὶ τὰ χωρία σῶσαι, λαβόντας τοὺς ὅρκους πρὶν ἐκεῖνον ἐξελεῖν αὐτά. Οὐ γὰρ ἂν ἥψατ' αὐτῶν παρόντων ἡμῶν,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ